ρὸς δεομένων, τοῖς μὲν ἄρεος ἔργοις, ὁ κράτιστος ἡμῶν βασιλεὺς ἑαυτὸν ἀπένειμε. Καὶ διαμαχόμενος τοῖς κύκλῳ βαρβάροις, οὐ δίδωσιν ὕπνον τοῖς ὀφθαλμοῖς οὐδὲ τοῖς κροτάφοις ἀνάπαυσιν· σὲ δὲ τοῖς πράγμασιν ἐφιστᾷ τοῖς προσδεέσι ῥήτορος γλώσσης καὶ χειλέων προϊέντων αὐδὴν λειριόεσσαν, ὑπὲρ τὸν Πύλιον ἐκεῖνον Νέστορα· ὥστε καὶ στείλασθαι μέλλεις ἰδοὺ δολιχὴν ὁδὸν ἀργαλέην τε· οὐ τοσοῦτον νυμφαγωγὸς ὀφθησάμενος κόρης ἀριστογενείας καὶ καθ' αἵμασι προσῳκειωμένης· καὶ συναφ' εἴ (*) ἐπιστατήσων ταῖς ἀρχικαῖς, ὅσον συναρμόσων εἰς ἓν κατὰ συνδέτην λίθον ἀκρόγωνον, ἔθνος μὲν πάλαι ὑπόσπονδον Ρωμαίοις καὶ φίλιον, οὐ πρὸ πολλοῦ δ' ἀπορραγὲν ἡμῶν καὶ καθ' αὑτὸ διοικούμενον· ἔθνος οὐκ ἀρειμάνιον μόνον ἀλλὰ καὶ τὴν διπλόην τοῦ φρονήματος (**) ὅσα καὶ χλαῖναν δίχρωμον περικείμενον καὶ καθ' αἵρεσιν ἡμῶν διϊστάμενον. Ἐπόθουν μὲν οὖν συμπαρεῖναί σοι καὶ αὐτὸς καὶ συνομαρτεῖν ὡς Πέτρῳ Κλήμης καὶ Παύλῳ Τιμόθεος· ἐπεὶ δὲ πολλά μοι τὰ προσιστάμενα καὶ τῆς βελτίστης ταύτης μεθιστῶντα προθέσεως, ἔντειναι καὶ κατευοδοῦ σὺν Θεῷ ποδηγέτῃ, τῆς προκειμένης ἐχόμενος ἡμέρας· ὁ ἥλιος μὴ συγκαύσαι σε· μὴ δὲ ἡ σελήνη νυκτός· εἴησάν σοι εὐπόρευτα τὰ δυσπόρευτα· λειοκυμονοίη δέ σοι καὶ θάλασσα οὐρίῳ καὶ φορῷ προπέμπουσα πνεύματι· καὶ συμπεράνας πάντα καθὼς ἡ ἔφεσις ὑποβάλλει σοι, ἐπανέλθοις θᾶττον ἄνοσος, εὔθυμος, ἐρασμιώτερός τε καὶ γεραρώτερος. Ὡς μὴ μόνον ὑπὲρ τῶν κοινῶν πραγμάτων ἠγωνισμένος ἀλλὰ καὶ τῆς ἀμωμήτου ἡμῶν ὑπερασπισάμενος πίστεως· καὶ καταπαλαίσας ἅπαν ἀντίδοξον ταῖς τοῦ πνεύματος διδαχαῖς, ἐξ ὧν καὶ αὐτὸς παντευχίαν σοι τήνδε διαπλεξάμενος τῇ μεγαλοπρεπείᾳ σου ἐνεχείρησα, διδοῦ σοι (***) τῷ σοφῷ ἀφορμήν, ὡς εἴης οὕτω σοφώτερος».

β') Πρόλογος.

Περὶ ὧν ἔχουσιν αἱρέσεων οἱ Ἀρμένιοι.

Ἡ τῶν Ἀρμενίων αἵρεσις, πολυσχιδής ἐστι καὶ πολύτροπος. Οὗτοι γὰρ καὶ θεοπασχῖται καὶ μονοθελῆται καὶ μονοφυσῖταί εἰσι· καὶ τὰ τούτων ἀπόβλητα δόγματα, πάσης αἱρέσεως μέτοχα. Ἀρείῳ μὲν γὰρ συμφρονοῦσιν, ἐν οἷς φάσκει τρεπτὴν τὸν θεὸν λόγον ἔχειν φύσιν καὶ σῶμα ἀνειληφέναι ἄψυχον. Καὶ ταῦτα αὐτοῦ λέγοντος. Κύριε, εἰς χεῖρας σου παρατίθημι τὸ

(*) Τὸ κείμενον ἔχει «καὶ συναφ' εἴ ἐπιστατήσων ταῖς ἀρχικαῖς», ἀλλ' ἡ ἔννοια δὲν συμφωνεῖ μὲ τὴν λέξιν «ἀρχικαῖς» καὶ διορθωτέα «συναφείαις».

(**) Ἡ λέξις «φρονήματος» εἶναι ἐν τῷ κειμένῳ γεγραμμένη μὲ ἐρυθρὰ γράμματα, ὁ δὲ **A. Heisenberg** γράφει ἀντ' αὐτῆς τὴν λέξιν γνώμης «διπλόην γνώμης» (ὡς ἀνωτ. σελ. 12).

(***) Ὁ **A. Heisenberg** ἔχει διδούς σοι (αὐτ. σελ. 12).

πνεῦμα μου. Καὶ τὴν θεότητα, τὰ τῆς ψυχῆς ἐνεργεῖν. Κἀντεῦθεν προσάπτουσι τῇ θεότητι, τὴν ἀπὸ τοῦ σώματος ἐγγινομένην συμπάθειαν. Ἀπολιναρίῳ δὲ συμφέρονται, μὴ καὶ νοῦν ἀνειληφέναι τὸν Σωτῆρα φάσκοντες, ἀλλ᾿ ἀρκέσαι τὴν θείαν φύσιν εἰς τὸ πληρῶσαι καὶ τὴν χρείαν τοῦ νοῦ, καὶ πολλοὺς ἄλλους τῶν αἱρετικῶν ἐπαινέσαντες, τὰς κιβδήλους δόξας αὐτῶν ᾠκειώσαντο· διδασκάλους δ᾿ ἔχον τῶν ματαίων αὐτῶν αἱρέσεων, Εὐτυχέα καὶ Πύρρον καὶ Παῦλον καὶ Διόσκουρον καὶ Ἰάκωβον· καὶ Πέτρον τὸν Κναφέα καὶ τὸν Μανταισάνην Ἐλάνιον· ὅθεν πῇ μὲν φασί, μὴ σῶμα ἡμῖν ἀνειλήφέναι ὁμοούσιον τὸν Χριστόν· ἄφθαρτον δὲ καὶ ἄκτιστον καὶ οὐράνιον, καὶ ἀπαθὲς καὶ λεπτόν, καὶ τὰ τῆς σαρκὸς κατὰ φαντασίαν αὐτὸν ἐνεργεῖν· πῇ δὲ ὡς ἡ σὰρξ αὐτοῦ, εἰς φύσιν μετεβλήθη θεότητος, καὶ ὁμοουσιος αὐτῷ γέγονεν· ὥσπερ καὶ σταγὼν μέλιτος ἀφανίζεται παραδοθῆναι πελάγει μακρῷ· καὶ μηκέτι τὴν ἑαυτῆς ἰδιότητα σώζουσα· ἐν πολλοῖς δὲ μηδὲ τὸν θεὸν λόγον ἀνθρώπειον ἐκ τῆς παρθένου ἀναλαβεῖν σῶμα. Τοῦτο δὴ τὸ τοῦ Εὐτυχοῦς λήρημα. Ἀλλ᾿ αὐτὸν ἀτρέπτως τραπέντα καὶ σάρκα γενόμενον τὴν πάροδον μόνην διὰ τῆς Παρθένου ποιήσασθαι καὶ προσπαγῆναι σταυρῷ τὴν ἀπερίγραπτον καὶ ἀπεριόριστον θεότητα τοῦ μονογενοῦς καὶ ταύτην τάφῳ παραδοθῆναι καὶ ἀναστῆναι· οὐδὲ ἡμῖν ἐκ τοῦ δογματίζειν οὕτως τῆς ἡμετέρας ἀναστάσεως ἐχέγγυον καταλείποντες· εἰ γὰρ πέπονθε Θεὸς καὶ ἐγήγερται ἐκ νεκρῶν, πῶς ἄνθρωπος ἀναστήσεται ὁ μὴ προσληφθεὶς ἐκ τοῦ ἡμετέρου φυράματος· εἰ δὲ σῶμα μὴ προσείληφεν ὁ λόγος, οὐδὲ ἀνάστασιν ἐσεῖται νεκρῶν, καὶ εἰκαίως λοιπὸν ἀπαρχὴν τῶν κεκοιμημένων καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν ὁ Παῦλος ἀνακηρύττει Χριστόν· ἀθετοῦντες δὲ τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ καὶ φαντασιωδῶς ταύτην γεγονέναι λέγοντες, οὐχ ὡς ἡμεῖς ἀνὰ μέρος τὸν Εὐαγγελισμόν, τὴν γέννησιν καὶ τὴν βάπτισιν ἑορτάζουσιν, ἀλλὰ τὴν νηστείαν μέχρι τῆς ε´ Ἰανουαρίου μηνὸς παρατείνοντες, ἐν ταύτῃ τὰς τρεῖς ἑορτὰς συναπτῶς ἐκτελοῦσι, παραβλέποντες δὲ τὰς εὐαγγελικὰς φωνὰς ἐξ οὐρανοῦ οὐ τὴν σάρκα τοῦ Χριστοῦ κατεληλυθέναι φασίν· αἱ δὴ Εὐαγγελικαὶ φωναὶ ἐκ τῶν πανάγνων αἱμάτων τῆς Ἀειπαρθένου Μαρίας σαρκωθῆναι τὸν Χριστὸν τοῖς πᾶσι διατρανοῦσι· ποτὲ μὲν λέγουσαι· μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου· ποτὲ δὲ καὶ ὡς ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν ἐν τῇ φάτνῃ· καὶ ἄλλως δὲ εἰ οὐράνιον ἦν τὸ σῶμα Χριστοῦ, οὐκ ἂν ὑπέκειτο πείνῃ καὶ δίψῃ καὶ ὕπνῳ καὶ κόπῳ καὶ δάκρυσι καὶ λύπῃ καὶ τοῖς λοιποῖς ἀδιαβλήτοις πάθεσιν, ἀλλ᾿ ἦν ἂν ἄφθαρτον καὶ ἀθάνατον ὡς αἱ φύσεις αἱ οὐράνιαι· ἵνα δὲ μὴ ἐλέγχωνται διακενῶς ἀνομοῦντες διαγράφουσιν ἐκ τοῦ Εὐαγγελίου τὰ ῥήματα ταῦτα. Καὶ ἐν τῷ

προσεύχεσθαι αὐτόν, ἐγένοντο οἱ ἱδρῶτες αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος· τὸν ἐντεῦθεν ἔλεγχον τῆς ἐκ παρθένου σαρκώσεως ἐκφυγεῖν βουλόμενοι· ἀλλὰ καὶ περὶ τὸν τρισάγιον ὕμνον κακουργοῦσιν ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς φάσκοντες· ἐν τῷ κατακολουθεῖν Πέτρῳ τῷ Κναφεῖ τὴν τοιαύτην προσθήκην εἰσενέγκαντι· καὶ οὐκ αἰσχύνοται τῷ ἀγγελικῷ τουτωῒ ὕμνῳ, παρέγγραπτα προστιθέντες ῥήματα· ἢ μᾶλλον οὐκ ἐννοοῦσιν ὡς καταγέλαστα δρῶσι· φάσκοντες τὸ μὲν σῶμα Χριστοῦ ἄφθαρτον καὶ ἀπαθὲς καὶ ἀθάνατον· τὴν δὲ θεότητα, παθητὴν καὶ θνητήν· καὶ τὴν τῶν ἀφθαρτοδοκητῶν καὶ θεοπασχιτῶν μανίαν κληρούμενοι· καὶ οὕτως δὲ εἰπεῖν ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς ὑπὲρ ἡμῶν καὶ ἀποθανὼν φάσκοντες, τίνα λέγουσιν ἀθάνατον ἀποθανόντα· εἰ μὲν τὸν θεὸν λόγον, κακῶς λέγουσιν, οὐ γὰρ ἀπέθανεν ὁ ἀθάνατος λόγος· εἰ δὲ τὴν ψυχὴν καὶ οὕτω κακῶς· ἀθάνατος γὰρ ἡ ψυχή· εἰ δὲ ἅγιον ἀθάνατον ἀποθανόντα τὴν σάρκα λέγουσι, καὶ πάλιν κακῶς λέγουσιν. Οὐ γὰρ ἀθάνατος ἦν ἡ σάρξ· εἰ δὲ τῷ ἑνὶ Χριστῷ τὴν ἅγιος ἀθάνατος ὁ παθὼν καὶ ἀποθανὼν ὑμνῳδίαν προσάπτουσιν, οὐδὲ οὕτως εὐσεβῶς λέγουσι· τὸ γὰρ ἀθάνατον τῇ ἑνωθείσῃ τῷ θείῳ λόγῳ ἀνθρωπίνῃ φύσει, ἀσύμφωνον· ὅτι δὲ οὐκ εἰς τὸν Υἱὸν μόνον ὡς οἱ Ἀρμένιοι φασὶ λέγεται τὸ τρισάγιον, ἀλλ' εἰς τὴν ἁγίαν ἀναφέρεται τριάδα, μάρτυς ὁ τῶν Θεοφόρων Πατέρων ἅπας χορός· διὰ μὲν γὰρ τῆς τρισσῆς ἁγιότητος, τὰς τρεῖς ὑποστάσεις τῆς ὑπερουσίου θεότητος τὰ ἅγια Σεραφεὶμ ὑπεμφαίνουσι· διὰ δὲ τῆς μιᾶς κυριότητος, τὴν μίαν τῆς θεαρχικῆς τριάδος οὐσίαν τε καὶ βασιλείαν γνωρίζουσι, γέλως οὖν τὸ μεταποιεῖν τὴν ὑπὸ τῶν σεραφεὶμ ὑμνουμένην τρισαγίαν ᾠδὴν καὶ προσθήκαις κιβδηλεύειν αὐτήν· τὸ δὲ λέγειν ὅτι καὶ ἡ καθολικὴ Ἐκκλησία πρότερον οὕτως ᾖδε τὸν τρισάγιον ὕμνον ἐσύστερον δὲ ἀφεῖλε τὴν ὁ σταυρωθεὶς δι' ἡμᾶς φωνήν διὰ τὴν ᾀδομένην ἁρπαγὴν τοῦ παιδίου, ψευδὲς καὶ συκοφαντία πρόδηλος· παρηνομεῖτο γὰρ ἡ προσθήκη αὕτη, παρά τινων ὥσπερ καὶ νῦν παρὰ τῶν Ἀρμενίων, ἡ δέ γε καθολικὴ Ἐκκλησία ἀνόθευτον καὶ ἀπαραποίητον τὸν τριαδικὸν ὕμνον ἐτήρει. Ὑπὸ δὲ τοῦ γεγονότος σημείου, καὶ οἱ μὲν οὕτω φρονοῦντες, μετεδιδάχθησαν τὴν ἀλήθειαν· εἰ καὶ μόνοι ἀπὸ πάντων Ἀρμένιοι τῷ Κναφεῖ Πέτρῳ κατακολουθοῦντες, οὐχὶ τῇ καθολικῇ πειθόμενοι Ἐκκλησίᾳ καὶ τοῦτο παρανομοῦσι μετὰ τῶν λοιπῶν αὐτῶν αἱρέσεων, οἱ δ' αὐτοὶ καὶ ἀζύμων οὐχὶ ἄρτον ἐν ταῖς ἱερουργίαις προσφέρουσι καὶ οἶνον ἀκέραστον ὕδατι· μίαν διὰ τούτου φύσιν ἐν τῷ Χριστῷ καταγγέλλοντες, οὐδὲ κιρνῶσι τὸν οἶνον ὕδατι ὡς ἡμεῖς τὴν ἕνωσιν τῶν ἐν τῷ Χριστῷ δύο φύσεων ἐμφαίνοντες, τοῦ ἀποστόλου καὶ ταῦτα διαρρήδην βοῶντος· εἷς δὲ τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ· ἀλλὰ καὶ τοῦ ἀδελφοθέου Ἰακώβου καὶ Μάρκου τοῦ Εὐαγγελιστοῦ καὶ ἀποστόλου ἐν ταῖς λειτουργίαις αὐτῶν οὑτωσὶ λεγόντων, λαβὼν τὸ πο-

τήριον καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, εὐχαριστήσας, ἔδωκε τοῖς μαθηταῖς εἰπών· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ἀλλὰ καὶ τοῦ Χριστοῦ τὸ οἰκεῖον παραδιδόντος Πάσχα, τὸ δὲ ἰουδαϊκὸν καταπαύσαντος, οἱ θεοβλαβεῖς οὗτοι, βόας καὶ πρόβατα κατὰ τὴν ἰουδαϊκὴν θύουσι λατρείαν, καὶ τῷ αἵματι τούτων τὰς φλιὰς τῶν οἰκιῶν αὐτῶν χρίουσι· καὶ ἐν τῇ ἑορτῇ τοῦ Πάσχα, οὐ τοῦ δεσποτικοῦ σώματος καὶ αἵματος μεταλαμβάνουσιν, ἀλλ' ἀμνὸν ἰουδαϊκῶς θύοντες καὶ ὀπτῶντες πυρί, τούτου μετέχουσι καὶ τὸν σταυρὸν δὲ οὐ πρότερον τιμῶσιν οὐδὲ προσκυνοῦσιν ἐξ οἱασδήποτε ὕλης ὄντα, εἰμὴ ὡς ἄνθρωπον τοῦτον βαπτίζουσι καὶ πήξουσιν ἧλον περὶ τὸ μέσον αὐτοῦ καὶ χρίσουσιν αὐτὸν αἵματι θυσίας· ἐμπηγνύουσι δὴ τὸν ἧλον τῷ σταυρῷ, εἰς ὄνομα τοῦ Χριστοῦ, δηλοῦντες ὅτι ὁ εἷς τῆς τριάδος ἐσταυρώθη· καὶ μὴ συνιέντες ὡς συσταυροῦσιν οὕτω καὶ τὴν τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος φύσιν μίαν καὶ τὴν αὐτὴν οὖσαν ἐν πολλοῖς, καὶ σταυροὺς τρεῖς συνάψαντες, ἁγίαν τριάδα τούτους κατονομάζουσιν· ἐμφαίνοντές πως ἐν τούτοις, τὴν ἁγίαν σταυρωθῆναι τριάδα· καὶ εἰκόνας ἀνόμως κατασκευάζουσι τῶν μὴ σαρκωθεισῶν τῷ Χριστῷ δύο ὑποστάσεων τῆς μακαρίας τριάδος φημὶ τοῦ πατρὸς καὶ ἁγίου πνεύματος· αἱ γὰρ εἰκόνες ὁρατῶν καὶ περιγραπτῶν σωμάτων εἰσίν· οὐ μὴν τῶν ἀκατανοήτων καὶ ἀοράτων. Ἐρωτώμενοι δὲ τίς ἐστιν ἡ παρ' αὐτοῖς νηστεία τοῦ ἀρτζιβούρτζη, φασὶ Σέργιόν τινα Ἀρμένιον ἐν τῇ χώρᾳ αὐτῶν μαρτυρῆσαι· ἐλεγχόμενοι δὲ ὡς μήτε προφήτου τινὸς ἢ ἀποστόλου ἢ μάρτυρος ἢ αὐτοῦ τοῦ τῆς μεγάλης Ἀρμενίας Γρηγορίου τελετὴν ἐργαζόμενοι πώποτε μεταβαίνοντες ἄλλοτε μὲν φασὶ τῶν νηστευτῶν εἶναι τὴν νηστείαν, ἄλλοτε δὲ τὴν ἐπὶ τῇ ἐξορίᾳ τοῦ Ἀδὰμ ποτὲ δὲ εἶναι ταύτην, ἣν ἐνήστευσαν οἱ Ἀρμένιοι μέλλοντες ὑπὸ τοῦ Γρηγορίου βαπτισθῆναι· τὴν ἀληθῆ αἰτίαν ἐκκλίνοντες ἥτις ἐστὶν ἥδε: Σέργιός τις τῆς τῶν Ἀρμενίων αἱρέσεως καθηγητής, εἶχε κύνα καλούμενον Ἀρτζιβούρτζην· δηλοῖ δὲ ἡ λέξις τὸν μανδητάτορα· τούτῳ ὑπὸ δαίμονος ἐνεργουμένῳ, μηνυτῇ τῆς αὐτοῦ παρουσίας ὁ Σέργιος τὰ πολλὰ ἐκέχρητο· ὅτε οὖν οἱ ἐν πολυχνίοις καὶ κώμαις ἢ χωρίοις ἐνδιατρίβοντες μαθηταὶ αὐτοῦ τὸν κῦνα εἶδον προπεμφθέντα, ἐξήρχοντο εἰς ἀπάντησιν τοῦ διδασκάλου αὐτῶν πρὸ τοῦ μέλλειν αὐτὸν ἐπιστῆναι· τοῦ κυνὸς τοίνυν ὑπὸ λύκου βρωθέντος βαδίσας ὁ Σέργιος μετὰ τὴν ἡμέραν ἐκείνην ἐφ' οὓς τὸν κύνα προὔπεμψε καὶ μηδένα εὑρὼν ὑπαντήσαντα βαρέως τὸ γεγονὸς ἤνεγκε, μαθὼν δ' ἐσ' ὕστερον λυκόβροτον γεγονέναι τὸν κύνα, διετετάχει τοῖς Ἀρμενίοις νηστεύειν ὑπὲρ τῆς αὐτοῦ τελευτῆς καὶ κατηφιᾶν καὶ σκυθρωπάζειν ἐφ' ἡμέραις ὡρισμέναις καθ' ἕκαστον ἐνιαυτόν· καὶ τὴν νηστείαν ταύτην ἀρτζιβούρτζην ἐπικεκλήκασιν».

Συνέχεια τῶν ἀνωτέρω ἐξακολουθεῖ ἐν τῷ Κώδικι ἡ ἐξιστόρησις τοῦ

περὶ μιᾶς ἐν τῷ Χριστῷ φύσεως καὶ μιᾶς ἐνεργείας δόγματος. «Τὴν δὲ μίαν ἐπὶ Χριστοῦ φύσιν καὶ μίαν ἐνέργειαν οὕτω πειρῶνται κρατύνειν. . .» μετὰ τῶν 'Αντιθέσεων καὶ τῆς διαλέξεως τοῦ Θεωριανοῦ μετὰ τοῦ Καθολικοῦ τῶν 'Αρμενίων, ὡς καὶ παρὰ Migne (τόμ. 140 σελ. 89-104) καὶ Spicilegium Romanum (τόμ. IV σελ. 470 Romae 1840) ἄρχεται τὸ περὶ αἱρέσεων τῶν 'Αρμενίων Κεφάλαιον. «Τὴν μίαν ἐπὶ Χριστοῦ φύσιν καὶ μίαν ἐνέργειαν, οὕτω πειρῶνται κρατύνειν. . . . . . .» ἀλλὰ μετά τινων παραλλαγῶν, μὴ ἀλλοιουσῶν ὅμως τὴν ἔννοιαν τοῦ κειμένου καὶ ὡς ἤδη δεδημοσιευμένων παραλείπομεν τὴν ἀναδημοσίευσιν αὐτῶν, μετὰ τῶν ὁποίων τὰ ἀνωτέρω τὸ πρῶτον ἤδη δημοσιευόμενα ἐν τῇ «'Ορθοδοξίᾳ», ἀπαρτίζουσι πλῆρες τὸ «περὶ ὧν ἔχουσιν αἱρέσεων οἱ 'Αρμένιοι» τοῦ Νικήτα 'Ακομινάτου τοῦ Χωνιάτου Κεφάλαιον, τὸ ὁποῖον παρὰ Migne καὶ Spicilegium Romanum σώζεται οὐχὶ πλῆρες.

Μόναχον, 1932.

ΑΡΧΙΜΑΝΔΡΙΤΗΣ ΙΩΑΝΝΗΣ ΑΝΔΡΕΑΔΗΣ

Δι' ἐκεῖνον ὁ ὁποῖος ἐκτιμᾷ τὴν ζωήν του, τὴν ἀξιοπρέπειάν του καὶ τὴν ἀξιοπρέπειαν τῶν ἄλλων, τὸ νὰ ὑποχωρήσῃ εἰς τὰς αἰσθήσεις του εἴς τινας περιστάσεις, εἶναι ὡσὰν νὰ προδίδῃ ὅ,τι ὑπάρχει εὐγενέστερον ἐν ἡμῖν, διὰ νὰ ἱκανοποιήσῃ ἁπλῆν ἐπιθυμίαν. Κατὰ συνέπειαν, ἐφ' ὅσον, καίπερ ἀναγνωρίζων τὴν νομιμότητα τῆς ἐπιθυμίας ταύτης καθ' ἑαυτήν, προτιμᾷ νὰ τὴν θυσιάσῃ, ἀποδίδει οὕτως εἰς τὴν φύσιν αὐτοῦ τὸν πρῶτον πρὸς αὐτὴν σεβασμόν, τὴν ἁγνείαν.

(Κάρολος Βάγνερ).

Μὲ τί θὰ ζήσουν τὰ τέκνα μας, ἐὰν δὲν πιστεύωσι πλέον εἰς οὐδέν, δὲν θὰ ἐλπίζουν τίποτε, δὲν θὰ σέβωνται τίποτε ; Τί θὰ τοὺς συγκρατήσῃ, θὰ τοὺς παρηγορήσῃ, θὰ δώσῃ εἰς αὐτοὺς τὴν δύναμιν νὰ ζήσουν καὶ νὰ ἀποθάνουν ἐν εἰρήνῃ ;

(ὁ αὐτός).

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΘΥΑΤΕΙΡΩΝ ΓΕΡΜΑΝΟΥ

Ο ΕΠΙΣΚΟΠΟΣ CHARLES GORE

ΕΞΕΧΟΥΣΑ θεολογικὴ καὶ ἐκκλησιαστικὴ φυσιογνωμία τῆς Ἐκκλησίας τῆς Ἀγγλίας, εὐφήμως γνωστὴ ὄχι μόνον ἐντὸς τῶν ὁρίων τῆς Ἀγγλικανικῆς Ὁμολογίας, ἀλλὰ καὶ πέραν αὐτῆς, καὶ δὴ καὶ ἐν τῇ Ὀρθοδόξῳ Ἀνατολῇ, ὁ Ἐπίσκοπος Charles Gore, ἐξεμέτρησεν ἠρέμα τὸ ζῆν τῇ 17ῃ Ἰανουαρίου ἐν ἡλικίᾳ 79 ἐτῶν. Καίτοι ἀπὸ πολλοῦ δὲν κατεῖχεν ἐνεργὸν διοικητικὴν θέσιν ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀγγλίας, ἡ ἐπιρροὴ αὐτοῦ ἐν τῷ ἐκκλησιαστικῷ ἐνταῦθα κόσμῳ ἦτο μεγάλη καὶ ὁ σεβασμὸς τοῦ ὁποίου ἀπήλαυε καὶ ἀπὸ μέρους ἐκείνων οἵτινες διΐσταντο πρὸς αὐτὸν κατὰ τὰς θεολογικὰς καὶ ἐκκλησιαστικὰς γνώμας ἀπείρως εἰλικρινής. Δὲν ὑπῆρχε ζήτημα θρησκευτικῆς φύσεως συζητούμενον δημοσίᾳ εἴτε ἐν συνελεύσεσιν εἴτε ἐν τῷ τύπῳ, ἡμερησίῳ καὶ περιοδικῷ, ἐν τῷ ὁποίῳ δὲν ἀνεμένετο καὶ δὲν ἠκούετο μετὰ προσοχῆς ἡ γνώμη αὐτοῦ. Ζῶν κατὰ τὰ τελευταῖα ἔτη μᾶλλον ἀπομεμονωμένος δὲν παρέλειπεν εὐκαιρίαν νὰ ἐξέλθῃ τῆς μονώσεως αὐτοῦ ὁσάκις ᾐσθάνετο ἐπιτακτικὴν τὴν φωνὴν τῆς συνειδήσεως αὐτοῦ νὰ ὑψώσῃ φωνὴν ὑπὲρ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης. Φίλος ἐκ πεποιθήσεως τῆς Ὀρθοδόξου Ἐκκλησίας καὶ ἐπισκεφθεὶς τὰ πνευματικὰ τῆς Ἀνατολῆς κέντρα ἔτρεφε σεβασμὸν πρὸς τοὺς ἀρχηγοὺς αὐτῶν καὶ ἐπελαμβάνετο πάσης διδομένης εὐκαιρίας, ἵνα συνηγορήσῃ ὑπὲρ τῶν δικαίων αὐτῶν. Ὁ Ἐπίσκοπος Gore διὰ τοῦ αὐστηροῦ καὶ ἀσκητικοῦ αὐτοῦ βίου, διὰ τῆς πολυμαθείας καὶ τῆς ἐπιβολῆς τοῦ χαρακτῆρος αὐτοῦ, διὰ τῆς ἀκουράστου ἐπιμελείας καὶ ἐργατικότητος αὐτοῦ δὲν ἀπέβη μόνον εἷς τῶν διασημοτέρων ἐκκλησιαστικῶν ἀνδρῶν τῆς συγχρόνου Ἀγγλίας, ἀλλὰ καὶ εἷς τῶν κλασικῶν αὐτῆς διδασκάλων.

***

Ἐξ εὐγενῶν ἕλκων τὴν καταγωγὴν ὁ Charles Gore τὴν πρώτην ἐκπαίδευσιν αὐτοῦ ἔσχεν ἐν τῷ ἑτέρῳ τῶν δύο διασήμων ἐσωτερικῶν Λυκείων τῆς Ἀγγλίας τῷ τοῦ Harrow, ὅπου μεγάλην ἐπίδρασιν ἤσκησεν ἐπὶ τοῦ πνεύματος αὐτοῦ δοὺς εἰς αὐτὸ τὴν ὁριστικὴν κατεύθυνσιν

ὁ διάσημος θεολόγος καὶ μετὰ ταῦτα Ἐπίσκοπος Durham, ὁ πολὺς Westcott. Τὰς σπουδὰς αὐτοῦ συνεπλήρωσεν ἐν τῷ Πανεπιστημίῳ τῆς Ὀξφόρδης, ὁπόθεν ἀπεφοίτησεν ἀριστοῦχος τῷ 1875 καὶ ἐξελέγη ἀμέσως ἑταῖρος τοῦ Κολλεγίου τῆς ἁγίας Τριάδος αὐτόθι, ἐν ᾧ καὶ ἐδίδαξεν ἀπὸ τοῦ 1876—80 χειροτονηθεὶς διάκονος ὑπὸ τοῦ τότε Ἐπισκόπου Ὀξφόρδης Dr Mackarness. Εἰς τὸν κλῆρον κατελέγη ἐκπληρῶν πρώϊμον καὶ σταθερὸν αὐτοῦ πόθον καὶ δὲν ἐβράδυνε νὰ δεχθῇ τὴν θέσιν ὑποδιευθυντοῦ ἐν τῷ θεολογικῷ Κολλεγίῳ τοῦ Cuddesdon, καθόσον οὕτω παρείχετο εἰς αὐτὸν ἡ εὐκαιρία νὰ χρησιμοποιήσῃ ὅλην τὴν μόρφωσιν καὶ τὸν θερμουργὸν αὐτοῦ ζῆλον εἰς τὴν ἐκπαίδευσιν τῶν μελλόντων κληρικῶν τῆς Ἀγγλικανικῆς Ἐκκλησίας. Ὅτε δὲ τῷ 1883 ἱδρύθη ἐν Ὀξφόρδῃ Οἶκος πρὸς τιμὴν τοῦ περιφήμου ἱδρυτοῦ τοῦ Ριτουαλισμοῦ Pusey, τὸ Pusey House, ὁ Gore προσεκλήθη εἰς τὴν θέσιν βιβλιοθηκαρίου μετατεθεὶς κατ' αὐτὸν τὸν τρόπον ἀπὸ τῆς περιφερείας εἰς τὸ κέντρον τῆς πανεπιστημιακῆς ζωῆς τῆς Ὀξφόρδης. Ἀνήκων εὐθὺς ἀπ' ἀρχῆς εἰς τὴν καθολικίζουσαν μερίδα τῆς Ἀγγλικανικῆς Ἐκκλησίας ἀπέβη μετ' οὐ πολὺ ὁ ἡγέτης τῶν καθολικῶν ἀρχῶν παρὰ τῇ ἐκπαιδευομένῃ νεολαίᾳ καὶ ἐφείλκυσε τὴν ἰδιαιτέραν προσοχὴν τῶν κηδεμόνων τοῦ ἱδρύματος καὶ ἰδίᾳ τοῦ Dr Liddon. Κατὰ τὴν ἐποχὴν ταύτην ἔγραψε τὸ πρῶτον αὐτοῦ θεολογικὸν σύγγραμμα «Πραγματεία περὶ Ἐκκλησίας καὶ Ἱεραρχίας». Περὶ τὸν Gore μετ' ὀλίγον συνηθροίσθη κύκλος στενὸς θεολόγων ἐμπνεομένων ὑπὸ τῶν αὐτῶν, ὡς ἐκεῖνος, συντηρητικῶν θεολογικῶν ἀρχῶν, ἀλλ' ἑτοίμων συγχρόνως νὰ ἐναρμονίσωσι τὴν θεολογικὴν ἐπιστήμην πρὸς τὰς ἀπαιτήσεις τῆς νέας ζωῆς καὶ σκέψεως. Ἐκ τῆς συνεργασίας τῶν ὁμοϊδεατῶν τούτων ἀνδρῶν προῆλθε τὸ περίφημον ἔργον Lux Mundi. Σκοπὸς αὐτοῦ ἦτο, ὡς ὥρισαν αὐτὸν οἱ συνεργάται, «νὰ προσέλθῃ ἐπίκουρον εἰς τὴν παρηγκωνισμένην πίστιν διὰ τῆς ὑποδείξεως τῆς ὀρθῆς σχέσεως τῆς χριστιανικῆς πίστεως καὶ τοῦ ὄγκου τῆς νεωτέρας γνώσεως». Ἡ ἐμφάνισις τοῦ ἔργου ἀπετέλεσε σημαντικὸν γεγονὸς ἐν τῇ ἱστορίᾳ τῆς θεολογίας ἐν Ἀγγλίᾳ, ἡ δὲ ἐν αὐτῇ πραγματεία τοῦ Gore «περὶ θεοπνευστίας» προὐκάλεσε μέγα ἐνδιαφέρον παρὰ τοῖς θεολογικοῖς κύκλοις, ἀλλὰ καὶ ἀπογοήτευσίν τινα παρὰ τοῖς αὐστηροῖς ὀπαδοῖς τοῦ πατρὸς τῆς Ἀγγλικανικῆς Ὀρθοδοξίας Pusey, οἵτινες μετὰ λύπης ἔβλεπον τὸν συντηρητικὸν Gore προστιθέμενον εἰς τὰς τάξεις τῶν οὕτω καλουμένων ὀπαδῶν τῆς Ὑψηλῆς Κριτικῆς. Μετ' ὀλίγον ὁ Charles Gore ἐκαλεῖτο νὰ ἀναλάβῃ τὰς διαλέξεις τοῦ Bampton (1891), ἐν ταῖς ὁποίαις ἐπραγματεύθη τὸ δόγμα «τῆς ἐνανθρωπήσεως» μετὰ τοιαύτης βαθυνοίας, ὥστε ἡ ἔκδοσις αὐτῶν ἀπετέλεσε νέον θρίαμβον αὐτοῦ. Ἀποσυρθεὶς ἐκ τοῦ Pusey House εἰς τὴν ἐνορίαν τοῦ Radley προέβη εἰς τὴν ἵδρυσιν

τῆς θρησκευτικῆς ἀδελφότητος, ἄλλως Τάγματος, τῆς ἀναστάσεως, ἐξ ἧς ἐν διαστήματι τριάκοντα καὶ πέντε ἐτῶν ἀνεδείχθη τὸ περίφημον Κολλέγιον τοῦ Mirfield, ἀριθμοῦν σήμερον περὶ τοὺς ἑκατὸν φοιτητὰς καὶ περὶ τοὺς πεντήκοντα ἀδελφούς. Τῷ 1894 ὁ Gore ἐκλήθη ὡς Κανωνικὸς τῆς Westminster Abbey καὶ ἡ προσοχὴ αὐτοῦ τότε ἐστράφη ἰδιαιτέρως εἰς τὰ κοινωνικὰ ζητήματα, διὸ καὶ ἐγένετο ἐνεργὸν μέλος «τῆς Χριστιανικῆς Κοινωνικῆς ἑνώσεως». Αἱ ὁμιλίαι αὐτοῦ ἐν τῷ περιφήμῳ καθεδρικῷ τῆς Westminster Abbey προσείλκυε πλήθη ἀκροατῶν, διότι ὁ Gore, καίτοι ἐστερεῖτο ρητορικῆς εὐγλωττίας, ἐνέκλειεν ἐν ἑαυτῷ μεγάλην δύναμιν λόγου καί, ὡς λέγει διάσημος κριτικός, ὁ Dean Inge, «Μᾶλλον τονωτικὴ χριστιανικὴ διδασκαλία δὲν ἐγένετο εἰς τὴν ἡμετέραν γενεάν». Ἰδιαιτέρως ὁ Gore διεκρίθη ἐν τῇ ἑρμηνείᾳ τῆς ἐπὶ τοῦ Ὄρους Διδαχῆς καὶ ἄλλων μερῶν τῆς Κ. Διαθήκης, ἐν τῇ ὁποίᾳ ἐξάγων μετὰ περισσῆς σαφηνείας τὸ γραφικὸν νόημα κατώρθου νὰ προσαρμόζῃ αὐτὸ πρὸς τὰ προβλήματα τῆς νεωτέρας ζωῆς. Ὑπάρχουσι μάλιστα οἱ φρονοῦντες ὅτι οὗτος ἐν οὐδενὶ ἄλλῳ μέρει τοῦ μακροῦ αὐτοῦ σταδίου ἀνεῦρεν ἔργον μᾶλλον ἁρμόζον εἰς τὸν χαρακτῆρα αὐτοῦ ἢ ἤσκησε τόσον πολύτιμον ἐπίδρασιν ὅσον ἐν τῇ διδασκαλίᾳ αὐτοῦ ἐν τῇ Westminster Abbey. Ἐκ τῆς ἐποχῆς ἐκείνης προῆλθε τὸ ἔργον αὐτοῦ «Τὸ σῶμα Χριστοῦ».

***

Κατὰ Νοέμβριον τοῦ 1901 ὁ Gore ἐκλήθη εἰς τὴν Ἐπισκοπὴν τοῦ Worcester. Ἡ πρόσκλησις αὐτοῦ, μολονότι οὗτος εἶχεν ἀποσυρθῇ ἀπὸ τῶν σωματείων τῆς Ἀγγλοκαθολικῆς μερίδος, διότι ἐφρόνει ὅτι ὁ Ἐπίσκοπος δὲν πρέπει νὰ εἶναι μέλος θρησκευτικῶν σωματείων, τὰ ὁποῖα δύνανται νὰ λάβωσιν ὡρισμένην στάσιν ἐν συζητουμένοις σημείοις, δὲν ἔμεινεν ἄμοιρος ἐπικρίσεων. Ἀναλαβὼν ὅμως τὰ καθήκοντα αὐτοῦ μετὰ τὴν χειροτονίαν τὸν Φεβρουάριον τοῦ 1902 ἐπεδόθη ἀμέσως εἰς τὸ ἔργον μετὰ τοῦ συνήθους αὐτοῦ ζήλου καὶ τῆς δραστηριότητος. Ἐν τῇ Ἐπισκοπῇ ἐκείνῃ παρέμεινε μόνον τρία ἔτη. Ἐννοήσας ὅτι ἡ μεγάλη ἐκείνη ἐπαρχία ἐστερεῖτο ὁμοιογενείας ἐπεδόθη ἀπ' ἀρχῆς καὶ κατώρθωσε νὰ ἀποχωρίσῃ τὸ ἀγροτικὸν αὐτῆς τμῆμα ἀπὸ τοῦ ἀστικοῦ καὶ δαπανῶν καὶ ἐξ ἰδίων νὰ ἀναδείξῃ ἰδιαιτέραν Ἐπισκοπὴν τὴν Βιρμιγχάμην. Ἔχων ἐστραμμένην τὴν προσοχὴν αὐτοῦ πρὸς τὴν κοινωνικὴν δρᾶσιν, εὗρεν εὐρὺ στάδιον ἐνεργείας μεταξὺ τῶν ἀπόρων λαϊκῶν τάξεων καὶ ἐπέτυχε νὰ προσδώσῃ εἰς τὴν Ἐκκλησίαν τῆς Ἀγγλίας ἀληθῆ ἐπιρροὴν ἐν πόλει, ἥτις ἀνέκαθεν ἐθεωρεῖτο προπύργιον τῶν Ἀσυμμορφώτων καὶ τῶν Οὐνιταρίων. Κατὰ τὴν ἐποχὴν ἐκείνην αἱ σχέσεις Ἀγγλικανῶν καὶ Ἀσυμμορφώτων

ἦσαν λίαν τεταμέναι ἕνεκα τοῦ ἐπὶ τάπητος τότε εὑρισκομένου ζητήματος τῆς θρησκευτικῆς διδασκαλίας ἐν τοῖς σχολείοις. Ὁ Gore κατώρθωσε διὰ τῆς εὐσεβείας αὐτοῦ, τῆς δυνάμεως ἣν εἶχε νὰ ἐμπνέῃ ἄλλους καὶ τῆς προθυμίας νὰ συνηγορῇ ὑπὲρ πάσης κινήσεως ἀποβλεπούσης εἰς τὴν κοινωνικὴν ὠφέλειαν, νὰ γεφυρώσῃ τὸ χάσμα καὶ νὰ συνεργασθῇ μετὰ τῶν διϊσταμένων ἐν ἀγαστῇ ὁμονοίᾳ πρὸς ἐπιτυχίαν τοῦ κοινοῦ σκοποῦ. Κατὰ τὸν χρόνον τῆς ἐν Βιρμιγχάμῃ ποιμαντορίας αὐτοῦ συμπίπτει ἡ συνηγορία τοῦ Gore ὑπὲρ τοῦ Ριτουαλισμοῦ, τὴν ὁποίαν ἀνέλαβε πρὸ τῆς Βασιλικῆς Ἐπιτροπείας, πρὸς ἣν ἐδήλωσεν ὅτι ἡ τελετόφιλος ἀναγέννησις ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀγγλίας εἶναι τμῆμα τῆς αἰσθητικῆς ἀναγεννήσεως ἥτις παρατηρεῖται οὐχὶ μόνον ἐντὸς τῶν ὁρίων τῆς Ἐκκλησίας, ἀλλὰ καὶ ἐκτὸς αὐτῆς. «Ὁ τύπος αὐτὸς τῆς λατρείας μοὶ φαίνεται ὅτι ἐκφράζει πράγματι τὰ αἰσθήματά μου καὶ ἡ χρῆσις αὐτοῦ μοὶ εἶναι ἐντελῶς οἰκεία». Ἡ Βιρμιγχάμη ὑπῆρξε πράγματι τὸ κατ' ἐξοχὴν κέντρον τῆς ποιμαντικῆς αὐτοῦ δράσεως, ἥτις τοσοῦτον ἐξετιμήθη ὑπὸ τοῦ ποιμνίου αὐτοῦ, ὥστε τοῦτο ζῶντος αὐτοῦ ἤγειρεν ἀνδριάντα πρὸς τιμὴν αὐτοῦ ἐν μιᾷ τῶν πλατειῶν τῆς πόλεως. Τῷ 1911 ὁ Ἐπίσκοπος Gore μετετέθη εἰς τὴν Ἐπισκοπὴν τῆς Ὀξφόρδης. Ἡ ὑπ' αὐτοῦ ἀποδοχὴ τῆς μεταθέσεως ἀπὸ ἐπαρχίας τὸ πλεῖστον ἀστικῆς εἰς ἐπαρχίαν μᾶλλον ἀγροτικὴν ἐπεκρίθη ὑπὸ πολλῶν ὡς ἀτυχής, τοσούτῳ μᾶλλον ὅσον ἕνεκα τοῦ ἰδιάζοντος χαρακτῆρος τῆς πανεπιστημιακῆς πόλεως ἡ ἐπιρροὴ τοῦ Ἐπισκόπου αὐτόθι ὑφίσταται πραγματικὴν μείωσιν. Ἡ παρρησία μεθ' ἧς ὡμίλησεν ἐναντίον τῶν καταχρήσεων τῶν γαιοκτημόνων πρὸς τοὺς καλλιεργητὰς τῶν κτημάτων αὐτῶν ἐν τῷ πόθῳ νὰ ἐπενέγκῃ διόρθωσιν, ἡ αὐστηρότης μεθ' ἧς ἐξεφράσθη κατὰ τὸν Βοερικὸν πόλεμον περὶ τῶν ἐν τοῖς στρατοπέδοις ἀτόπων, αἱ ὁμιλίαι τὰς ὁποίας ὑπὸ τὸ πνεῦμα αὐτὸ ἀπηύθυνε κατὰ διαφόρους περιστάσεις, δὲν συνετέλεσαν εἰς τὴν προαγωγὴν συνενοήσεως καὶ συμφωνίας μεταξὺ Ἐπισκόπου καὶ τῶν ἐξεχόντων μελῶν τῆς Ἐπισκοπῆς αὐτοῦ. Καὶ διὰ τοῦτο ὅτε ὁ Gore ὑπέβαλε σχέδιον διχασμοῦ τῆς Ἐπισκοπῆς, ὅπερ κατ' οὐσίαν ἦτο ἐξαίρετον, καὶ κατ' ἀρχὴν ἐψηφίσθη, οἱ δυσηρεστημένοι κατ' αὐτοῦ λαϊκοὶ ἐπέτυχον, ὥστε τὸ σχέδιον τοῦ Ἐπισκόπου νὰ ἀπορριφθῇ τελικῶς. Ἡ ἀποτυχία αὕτη, ὡς καὶ ἄλλαι τινὲς δευτερεύουσαι, ἀπεγοήτευσαν τὸν Gore καὶ ἐγέννησαν ἐν αὐτῷ τὴν συνείδησιν ὅτι δύναται ν' ἀποβῇ ἐπωφελέστερος εἰς τὴν Ἐκκλησίαν αὐτοῦ παραιτούμενος τῆς διοικητικῆς θέσεως καὶ ἀφοσιούμενος καθ' ὁλοκληρίαν εἰς τὴν καλλιέργειαν τῆς ἐπιστήμης καὶ εἰς τὴν συγγραφήν. Ἐντεῦθεν καὶ παρῃτήθη τῆς Ἐπισκοπῆς Ὀξφόρδης τῷ 1919 καὶ συγχρόνως πάσης συντάξεως.

(Ἕπεται τὸ τέλος).

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

ΒΑΣΙΛΕΙΟΣ ΑΝΤΩΝΙΑΔΗΣ

Πλήρης ἡμερῶν, ἐν ἡλικίᾳ 85 ἐτῶν, ἐκοιμήθη ἐν Κυρίῳ ἐν Ἀθήναις τῇ 27ῃ παρόντος μηνὸς ὁ σοφὸς Καθηγητὴς τῆς ἐν Χάλκῃ Ἱερᾶς Θεολογικῆς Σχολῆς ***Βασίλειος Ἀντωνιάδης***. Τὴν λυπηρὰν εἴδησιν μετέδωκαν τηλεγραφικῶς ὁ ἐν Ἀθήναις Πατριαρχικὸς Ἀποκρισιάριος Σεβασμιώτατος Μητροπολίτης Τραπεζοῦντος κ. Χρύσανθος καὶ ὁ Μακαριώτατος Ἀρχιεπίσκοπος Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κ. Χρυσόστομος.

Ἡ κηδεία ἐτελέσθη μετὰ πάσης τιμῆς τὴν ἑπομένην τοῦ θανάτου, ἐκκλησιαστικῇ δαπάνῃ, προστάντος τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου Ἀθηνῶν. Ἐκ μέρους τοῦ Οἰκουμενικοῦ Πατριάρχου παρέστη ὁ Σεβασμιώτατος Μητροπολίτης Τραπεζοῦντος, ὅστις καὶ ἐξέφρασε τὰ βαθύτατα συλλυπητήρια τῆς Ἐκκλησίας εἰς τὴν χήραν τοῦ ἀειμνήστου Καθηγητοῦ. Εἰς τὸν Μακαριώτατον Ἀρχιεπίσκοπον Ἀθηνῶν ἐξεφράσθησαν Πατριαρχικαὶ εὐχαριστίαι δι' ἃ ἀπηύθυνεν ἔνθερμα συλλυπητήρια καὶ διὰ τὰς τιμὰς ἃς ἀπέδωκεν εἰς τὸν ἐκλιπόντα ἄνδρα.

Ἡ Α. Θ. Παναγιότης μετὰ βαθείας συγκινήσεως ἤγγειλε τὸ θλιβερὸν γεγονὸς εἰς τὴν Ἁγίαν καὶ Ἱερὰν Σύνοδον, ἐξάρασα εὐσυνόπτως τὸ ὑπέροχον καὶ φαεινὸν ἔργον τοῦ γεραροῦ Καθηγητοῦ, ὁ ὁποῖος μὲ τὴν σοβαρὰν πολυμάθειάν του, τὸ βάθος τῆς σκέψεως, τὴν εὐρύτητα τοῦ χριστιανικοῦ πνεύματος, τὸ ὁποῖον διέλαμπεν εἰς τὰς εὐτυχεῖς ὥρας τῆς διδασκαλίας του, ἀκτινοβολεῖ δὲ εἰς τὰ ἐμβριθῆ συγγράμματά του, ἰδιαιτέρως δὲ εἰς τὰς κατὰ τὰ τελευταῖα ἔτη δημοσιευθείσας πολυτίμους αὐτοῦ θεολογικὰς πραγματείας περὶ τοῦ πνεύματος ὑφ' οὗ δέον νὰ ἐμπνέωνται αἱ Χριστιανικαὶ Ἐκκλησίαι ἐν ταῖς σκέψεσι καὶ ταῖς ἐνεργείαις αὐτῶν ἐν ταῖς πρὸς ἀλλήλας καὶ πρὸς τὸν κόσμον σχέσεσιν αὐτῶν, ἀπέδειξεν ἑαυτὸν ἕνα τῶν φωτεινοτέρων θεολογικῶν πνευμάτων τῆς ἡμετέρας Ἐκκλησίας τῶν χρόνων ἡμῶν. Καταλήγουσα ἡ Α. Θ. Παναγιότης ἐξέφρασε τὸν πόνον τῆς Ἐκκλησίας ἐπὶ τῇ μεγάλῃ ἀπωλείᾳ ἣν ὑφίστανται τὰ γράμματα καὶ ἡ Ἐκκλησία, καὶ ὀρθία μετὰ τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου ἐδεήθη ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ ἀειμνήστου.

Ἡ Ἱερὰ Θεολογικὴ Σχολή, ἐκδηλοῦσα τὸ βαρὺ αὐτῆς πένθος ἐπὶ τῇ ἀπωλείᾳ τοῦ ἐπὶ τεσσαρακονταετίαν ὅλην ἐν αὐτῇ διδάξαντος σοφοῦ Κα-

θηγητοῦ, εἰς ἔνδειξιν τῆς πρὸς αὐτὸν ἀϊδίου αὐτῆς τιμῆς, ἐτέλεσε δὶς τρισάγιον παρόντων τῶν Καθηγητῶν καὶ τῶν μαθητῶν τῆς Σχολῆς, πρὸς οὓς ὁ Σχολάρχης Θεοφιλέστατος Ἐπίσκοπος Μιλήτου κ. Αἰμιλιανὸς δι' ὀλίγων ἀνεσκόπησε καὶ ἐξῆρε τὸ διὰ τὴν Σχολὴν καὶ τὴν Ἐκκλησίαν ἐξέχον ἔργον τοῦ ἐκλιπόντος Καθηγητοῦ, κατὰ τὴν ἡμέραν δὲ τῆς κηδείας διέκοψε τὰ μαθήματα αὐτῆς.

Ἡ *Ὀρθοδοξία*, ἡ ὁποία εἶχε τὴν ὑπάτην τιμὴν καὶ τὸ μέγα εὐτύχημα νὰ ἔχῃ ἀπὸ τῆς πρώτης ἡμέρας τῆς ἐμφανίσεως αὐτῆς ἐπὶ ἱκανὰ ἔτη ὡς Ἀρχισυντάκτην τὸν σοφὸν ἄνδρα, καὶ νὰ ἴδῃ τὰς σελίδας αὐτῆς φωτιζομένας ἀπὸ τὸ ἀμίαντον φῶς τῆς συγγραφικῆς καὶ ἐμπνευσμένης γραφίδος αὐτοῦ, εὔχεται αὐτῷ αἰωνίαν τὴν μνήμην.

Τοῦ ἀειμνήστου καὶ σοφοῦ Καθηγητοῦ ἡμῶν ***Βασιλείου Ἀντωνιάδου*** εἴη αἰωνία ἡ μνήμη !

ΑΝΑΣΥΓΚΡΟΤΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ

Ἐν τῇ Συνοδικῇ Συνεδρίᾳ τῆς 3ης λήξαντος μηνός, μετὰ τὴν ἀνάγνωσιν καὶ ἐπικύρωσιν τῶν Πρακτικῶν τῆς προηγουμένης συνεδρίας, ἡ Α. Θ. Παναγιότης θερμῶς προσηγόρευσε τοὺς ἐπὶ τῇ λήξει τῆς Συνοδικῆς αὐτῶν θητείας ἀποχωροῦντας Σεβασμιωτάτους Συνοδικοὺς Μητροπολίτας, ἐξ ὀνόματος τῶν ὁποίων ἀπήντησεν εὐχαριστῶν ὁ Σεβασμιώτατος Μητροπολίτης Χαλκηδόνος κ. Ἀγαθάγγελος.

Μετ' ἐπηκολούθησαν διάλειμμα, προσελθόντων τῶν νέων Συνοδικῶν Μητροπολιτῶν ἡ Α. Θ. Παναγιότης, χαιρετίσασα ἐγκαρδίως αὐτούς, ἐπεκαλέσθη τὴν θεόθεν ἐνίσχυσιν πρὸς αἰσίαν καὶ καρποφόρον ἐν πᾶσιν ἐπιτέλεσιν τοῦ ἔργου τῆς Ἐκκλησίας. Εἰς τοὺς λόγους τῆς Α. Θ. Παναγιότητος ἀπήντησε προσηκόντως ὁ Σεβασμιώτατος Μητροπολίτης Ροδοπόλεως κ. Κύριλλος.

ΣΥΝΟΔΙΚΑΙ ΕΠΙΤΡΟΠΑΙ

Ἐγκριθείσης τῆς καθ' ἕκαστον Μάρτιον ἀνασυγκροτήσεως τῶν Συνοδικῶν ἐν τοῖς Πατριαρχείοις Ἐπιτροπῶν, αὗται κατηρτίσθησαν ὡς ἀκολούθως :

α΄) Ἡ Κανονικὴ Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Νικαίας κ. Βενιαμίν, Σάρδεων καὶ Πισιδίας κ. Γερμανοῦ, Ἡλιουπόλεως κ. Γενναδίου καὶ Φιλαδελφείας κ. Μαξίμου.

β΄) Ἡ ἐπὶ τῶν Οἰκονομικῶν Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Σάρδεων καὶ Πισιδίας κ. Γερμανοῦ, Λαοδικείας κ. Δωροθέου καὶ Φιλαδελφείας κ. Μαξίμου.

γ΄) Ἡ ἐπὶ τῶν Ἐκκλησιαστικῶν ζητημάτων Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Σάρδεων καὶ Πισιδίας κ. Γερμανοῦ, Ἡλιουπόλεως κ. Γενναδίου καὶ Λαοδικείας κ. Δωροθέου.

δ΄) Ἡ ἐπὶ τῶν Πανορθοδόξων Συνόδων καὶ Παγχριστιανικῶν Συνεδρίων Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Δέρκων κ. Ἰωακείμ, Σάρδεων καὶ Πι-

σιδείας κ. Γερμανοῦ, Ἡλιουπόλεως κ. Γενναδίου, Μύρων κ. Πολυκάρπου καὶ Φιλαδελφείας κ. Μαξίμου, συμβουλευτικῶς ἑκάστοτε ἐν αὐτῇ καλουμένου καὶ τοῦ Διευθυντοῦ τοῦ Α´ Πατριαρχικοῦ Γραφείου κ. Χρήστου Παπαϊωάννου.

ε´) Ἡ Δικαστικὴ Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Ἡλιουπόλεως κ. Γενναδίου καὶ Μύρων κ. Πολυκάρπου.

ϛ´) Ἡ Μοναστηριακὴ Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Πριγκηποννήσων κ. Θωμᾶ, Θεοδωρουπόλεως κ. Λεοντίου καὶ Χριστουπόλεως κ. Μελετίου.

ζ´) Ἡ Ἐξελεγκτικὴ Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Χριστουπόλεως κ. Μελετίου καὶ Μύρων κ. Πολυκάρπου.

η´) Ἡ ἐπὶ τοῦ Πατριαρχικοῦ Ἀρχειοφυλακίου Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Δέρκων κ. Ἰωακείμ, Σάρδεων καὶ Πισιδίας κ. Γερμανοῦ καὶ Ροδοπόλεως κ. Κυρίλλου.

θ´) Ἡ ἐπὶ τοῦ Σκευοφυλακίου, Μουσείου καὶ Μυροφυλακίου Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Νικαίας κ. Βενιαμὶν καὶ Θεοδωρουπόλεως κ. Λεοντίου.

ι´) Ἡ ἐπὶ τοῦ Πατριαρχικοῦ Τυπογραφείου Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Προύσης κ. Νικοδήμου, Σάρδεων καὶ Πισιδίας κ. Γερμανοῦ, Χριστουπόλεως κ. Μελετίου καὶ Μύρων κ. Πολυκάρπου.

ια´) Ἡ ἐπὶ τῆς Βιβλιοθήκης καὶ τοῦ Περιοδικοῦ Ἐπιτροπὴ ἐκ τῶν Σεβασμιωτάτων Μητροπολιτῶν Ἡλιουπόλεως κ. Γενναδίου, Χριστουπόλεως κ. Μελετίου καὶ Λαοδικείας κ. Δωροθέου, ὡς καὶ τοῦ Ἀρχιγραμματέως τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου Ἐπισκόπου Τραχείας κ. Ἀλεξάνδρου.

ΕΙΔΙΚΗ ΕΞΕΛΕΓΚΤΙΚΗ ΕΠΙΤΡΟΠΗ

Κατηρτίσθη Εἰδικὴ Ἐξελεγκτικὴ Ἐπιτροπὴ ἐκ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Δέρκων κ. Ἰωακεὶμ καὶ τῶν Τραπεζιτῶν κ. κ. Α. Καλβοκορέση καὶ Δ. Βοσνιάκου πρὸς ἐξέλεγξιν τῶν λογαριασμῶν τῶν Πατριαρχείων ἀπὸ τῆς ἐκλογῆς τῆς Α. Θ. Παναγιότητος καὶ ἐντεῦθεν.

ΙΕΡΑ ΘΕΟΛΟΓΙΚΗ ΣΧΟΛΗ

—Ἐν τῇ Ἐφορείᾳ τῆς Ἱ. Θ. Σχολῆς, ἧς ἡ ἀνασυγκρότησις ὡρίσθη ἵνα τελῆται καθ᾽ ἕκαστον Σεπτέμβριον, παραιτηθέντος τοῦ Σεβ. Μητροπολίτου Φιλαδελφείας κ. Μαξίμου, διωρίσθη ἀντ᾽ αὐτοῦ ὁ Σεβασμιώτατος Μητροπολίτης Μύρων κ. Πολύκαρπος.

— Μὴ ἐγκριθέντος παρὰ τῆς Διευθύνσεως τῆς Παιδείας τελικῶς τοῦ διορισμοῦ τοῦ Θεοφιλεστάτου Ἐπισκόπου Τραχείας κ. Ἀλεξάνδρου ἐν τῇ Σχολαρχίᾳ τῆς Ἱ. Θεολογικῆς Σχολῆς, Σχολάρχης αὐτῆς διωρίσθη ὁριστικῶς ὁ Ἀρχιγραμματεὺς τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου Θεοφιλέστατος Ἐπίσκοπος Μιλήτου κ. Αἰμιλιανός.

ΑΡΧΙΓΡΑΜΜΑΤΕΙΑ ΤΗΣ ΑΓ. ΚΑΙ Ι. ΣΥΝΟΔΟΥ

Ἐν τῇ Ἀρχιγραμματείᾳ τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου, κενωθείσῃ συνεπείᾳ τοῦ διορισμοῦ ὡς Σχολάρχου τῆς Ἱερᾶς Θεολογικῆς Σχολῆς τοῦ Θεοφιλεστάτου Ἐπισκόπου Μιλήτου κ. Αἰμιλιανοῦ, συνοδικῶς διωρίσθη καὶ ἀνέλαβε τὰ σχετικὰ καθήκοντα ὁ Θεοφιλέστατος Ἐπίσκοπος Τραχείας κ. Ἀλέξανδρος.

ΜΗΤΡΟΠΟΛΙΤΗΣ ΘΥΑΤΕΙΡΩΝ

Συμμετέχων τῆς ἐκ Λονδίνου ἀνὰ τὴν Μεσόγειον ὀργανωθείσης ἀρχαιολογικῆς ἐκδρομῆς, κατὰ τιμητικὴν πρόσκλησιν τοῦ ὀργανωτοῦ αὐτῆς, ἀφίκετο τῇ 29ῃ λήξαντος ἐνταῦθα ὁ διακεκριμένος Ἱεράρχης Σεβασμιώτατος Μητροπολίτης Θυατείρων κ. Γερμανός.

Τὴν Α. Σεβασμιότητα, μὴ ἀποβιβασθεῖσαν, ἐπισκεφθεὶς ἐχαιρέτισεν ἐπὶ τοῦ ἀτμοπλοίου ἐκ μέρους τῆς Α. Θ. Παναγιότητος ὁ Ὑπογραμματεὺς τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου διάκονος Ἀδαμάντιος Κασαπίδης.

— Ἐκ τῶν συμμετεχόντων εἰς τὴν ἐκδρομὴν ἐπεσκέφθησαν τὰ Πατριαρχεῖα καὶ ὑπέβαλον τὰ σέβη αὐτῶν τῇ Α. Θ. Παναγιότητι ὁ ἐν Λονδίνῳ ἔγκριτος ὁμογενὴς Σὲρ Τζὼν Σταυρίδης οἰκογενειακῶς, ὁ Σὲρ **Henry Lunn, ἐκδότης τοῦ περιοδικοῦ «The Review of the Churches»**, ὡσαύτως οἰκογενειακῶς, ὁ Ἄγγλος Ἱερεὺς **W. Telfer** καὶ ἄλλοι.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ

Μετὰ πάσης σεμνότητος καὶ μεγαλοπρεπείας ἐγένετο ἐν τῷ πανσέπτῳ Πατριαρχικῷ Ναῷ τὴν Κυριακὴν τῆς Ὀρθοδοξίας ἡ νενομισμένη Πατριαρχικὴ καὶ Συνοδικὴ Λειτουργία. Ἐξ ὅλων τῶν σημείων τῆς Ἀρχιεπισκοπῆς εἶχε συρρεύσῃ πολυπληθὲς ἐκκλησίασμα. Μεταξὺ τῶν ἐπισήμων διεκρίνοντο ὁ κ. Κωνσταντῖνος Σακελλαρόπουλος, πρεσβευτής, καὶ ὁ Ἀρεοπαγίτης κ. Γ. Ἀντωνακόπουλος. Τὸν πανηγυρικὸν τῆς ἡμέρας ἐκήρυξεν ὁ Ὑπογραμματεὺς τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου διάκονος Ἀδαμάντιος Κασαπίδης, ὅστις, ὁρμηθεὶς ἐκ τοῦ ῥητοῦ «Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες» (Β´ Τιμοθ. γ´ 14), συνοπτικῶς ἀνεσκόπησε τοὺς μακροὺς ἀγῶνας οὓς ἡ Ἐκκλησία ὡς τίμιος καὶ πιστὸς φύλαξ τῆς ἐμπεπιστευμένης αὐτῇ θεοπαραδότου παρακαταθήκης ἠγωνίσθη πρὸς περιφρούρησιν αὐτῆς· προϊὼν ἐτόνισεν ὅτι μετὰ τὸν ἔνατον αἰῶνα τὸ ἀληθὲς πνεῦμα τῆς εὐαγγελικῆς καὶ πατροπαραδότου διδασκαλίας διετηρήθη ἐν μόνῃ τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ, ἥτις καθ' ὅλην τὴν μακραίωνα αὐτῆς σταδιοδρομίαν οὐδαμῶς ἀπέστη τῆς ὑψηλῆς ἀντιλήψεως τῆς Χριστιανικῆς θρησκείας, στερρῶς δὲ μέχρι τοῦ νῦν ἔχεται τοῦ ἁγνοῦ Χριστιανικοῦ πνεύματος, διὰ τὴν νίκην τοῦ ὁποίου καὶ ἐργάζεται μετὰ ζήλου καὶ ἁγνότητος ἡ Ὀρθοδοξία εἰς πᾶσαν τὴν σύγχρονον Διορθόδοξον καὶ Διαχριστιανικὴν κίνησιν αὐτῆς, ἐν πεποιθήσει ὅτι τὸ πνεῦμα τοῦτο μέλλει ἀσφαλῶς ἵνα ἐπικρατήσῃ τελικῶς, ὑποχωρούσης πρὸ τῆς ἁγνότητος αὐτοῦ πάσης σκέψεως ἀνθρωπίνης καὶ παντὸς φρονήματος κοσμικοῦ.

ΕΚΚΛΗΣΙΑ ΑΥΣΤΡΑΛΙΑΣ

— Κατόπιν ὑποβληθείσης κανονικῆς αἰτήσεως συγγνώμης τοῦ ἐν Αὐστραλίᾳ ἀπὸ τοῦ 1927 καθῃρημένου Ἀρχιμανδρίτου Βαράκλα, ἡ Ἁγία καὶ Ἱερὰ Σύνοδος κατ' οἰκονομίαν ἀπεφάσισε τὴν ἀποκατάστασιν αὐτοῦ εἰς ὃν πρότερον εἶχεν ἱερατικὸν βαθμὸν καὶ ἐνέκρινε τὴν ἐν τῇ ὑπηρεσίᾳ τῆς Ἀρχιεπισκοπῆς Ἀμερικῆς, ὅπου ὁ εἰρημένος μετέβη, τοποθέτησιν αὐτοῦ.

—Ὡσαύτως κατόπιν σχετικῆς αἰτήσεως τοῦ τέως Πατριαρχικοῦ ἐν Αὐστραλίᾳ Ἐπιτρόπου Ἀρχιμ. Θεοφυλάκτου Παπαθανασοπούλου, κωλυομένου ἵνα, ὡς ὡρίσθη, ἀναλάβῃ τὴν Προϊσταμενίαν τῆς ὁμογενοῦς Κοινότητος Βουκουρεστίου μετὰ καθηκόντων Πατριαρχικοῦ Ἀντιπροσώπου παρὰ τῇ Ἁγιωτάτῃ Ρουμανικῇ Ἐκκλησίᾳ, συνοδικῶς ἐνεκρίθη ἡ εἰς Ἀμερικὴν μετάβασις καὶ ἐν τῇ αὐτόθι Ἀρχιεπισκοπῇ τοποθέτησις αὐτοῦ.

ΧΕΙΡΟΤΟΝΙΑΙ

Ἐνεκρίθη συνοδικῶς ἡ εἰς διάκονον χειροτονία τῶν ἐκ τῶν ἐφετεινῶν τελειοφοίτων τῆς Ἱερᾶς Θεολογικῆς Σχολῆς Χάλκης Κωνσταντίνου Ἀξιώτου καὶ Ἀναστασίου Κριθιώτου. Ἡ χειροτονία αὐτῶν ἐτελέσθη ἐν τῷ Ναϊδίῳ τῆς Σχολῆς, τοῦ μὲν Κωνσταντίνου Ἀξιώτου τῇ ἑορτῇ τοῦ Εὐαγγελισμοῦ ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Φιλαδελφείας κ. Μαξίμου, τοῦ δὲ Ἀναστασίου Κριθιώτου τῇ Β' Κυριακῇ τῶν Νηστειῶν ὑπὸ τοῦ Σεβ. Μ/του Χριστουπόλεως κ. Μελετίου. Οἱ χειροτονηθέντες ἐπὶ τῇ εἰσόδῳ αὐτῶν εἰς τὸ κληρικὸν στάδιον ὠνομάσθησαν ὁ μὲν Κωνσταντῖνος Κύριλλος, ὁ δὲ Ἀναστάσιος Μελέτιος.

ΚΑΘΑΙΡΕΣΙΣ

Ἡ Ἁγία καὶ Ἱερὰ Σύνοδος καθῄρεσεν ἀπὸ τῆς ἱερωσύνης τὸν ἱερέα Σάββαν Μανιᾶν, τέως Ἡγούμενον τῆς ἐν Ρόδῳ Ἱ. Μονῆς τοῦ Ἀρταμίτου καὶ νῦν ἐν Ἀθήναις διαμένοντα, ὅστις ἀπεπειράθη ἵνα δολοφονήσῃ τὸν Σεβ. Μητροπολίτην Ρόδου κ. Ἀπόστολον ἐν ἔτει 1927, ἐφ' ᾧ κατεδικάσθη ἐρήμην ἐν Δωδεκανήσῳ ὑπὸ τῶν πολιτικῶν Δικαστηρίων εἰς εἰκοσιπενταετῆ φυλάκισιν.

ΘΑΝΑΤΟΣ ΣΕΡΒΟΥ ΙΕΡΕΩΣ

Ὅλως αἰφνιδίως ἀπέθανε τὴν 1ην τοῦ παρόντος μηνὸς εἰς ἡλικίαν 63 ἐτῶν ὁ Πρωθιερεὺς τῆς ἐνταῦθα Γιουγκοσλαβικῆς Πρεσβείας Βασίλειος Κοβάτσεβιτς. Ὁ ἀείμνηστος κατήγετο ἐκ Δαλματίας. Τὰς σπουδὰς αὐτοῦ ἐποιήσατο εἰς τὸ Βασιλικὸν Γυμνάσιον Κατάρρου καὶ ἀκολούθως εἰς τὴν Ἱερατικὴν Σχολὴν Ζάνδαρ. Εἰσελθὼν εἰς τὰς τάξεις τοῦ κλήρου, μετ' εὐδόκιμον διακονίαν εἰς διαφόρους ἐκκλησίας διωρίσθη ἱερεὺς τῆς ἐνταῦθα Σερβικῆς Πρεσβείας.

Ἡ νεκρώσιμος ἀκολουθία ἐψάλη ἐν τῷ ἐν Πέραν ἱ. ναῷ τῆς Ἁγίας Τριάδος ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Εἰρηνουπόλεως κ. Κωνσταντίνου, μετέχοντος σύμπαντος τοῦ κλήρου τῆς κοινότητος Σταυροδρομίου. Εἰς τὴν κηδείαν, γενομένην τιμητικῶς ἐκκλησιαστικῇ δαπάνῃ, ἐκ μέρους τῆς Α. Θ. Παναγιότητος παρέστη ὁ Δευτερεύων τῶν Πατριαρχείων κ. Γρηγόριος.

Μετὰ βαθυτάτης συγκινήσεως οἱ οἰκεῖοι τοῦ ἀειμνήστου προσῆλθον τὴν ἐπομένην εἰς τὰ Πατριαρχεῖα καὶ ὑπέβαλον τῇ Α. Θ. Παναγιότητι τὴν θερμὴν αὐτῶν εὐγνωμοσύνην καὶ τὰ σέβη.